# Thursday 15 May 2014 – Morning

## AS GCE CLASSICS: CLASSICAL GREEK

**F371/01** Classical Greek Language

**INSERT**

**Duration:** 1 hour 30 minutes

**INSTRUCTIONS TO CANDIDATES**

- Do not hand in this Insert at the end of the examination. It is not required by the Examiner.

**INFORMATION FOR CANDIDATES**

- This document consists of **4** pages. Any blank pages are indicated.

**INSTRUCTION TO EXAMS OFFICER/INVIGILATOR**

- Do not send this Insert for marking; it should be retained in the centre or recycled. Please contact OCR Copyright should you wish to reuse this document.

© OCR 2014 [F/500/8442]
NL 95342
OCR is an exempt Charity

## Passage 1

*The speaker explains how his stepmother tricked a young woman into poisoning the speaker's father, and his father's friend Philippos. She achieved this by making the young woman believe that the poison was a love-potion.*

'I will now attempt to tell you the truth about what happened. And may justice be my guide.

ἐν τῇ ἡμετέρᾳ οἰκίᾳ ἦν ὑπερῷόν[1] τι, καὶ ὁ Φίλιππος εἶχε τοῦτο ὁπότ᾽ ἐν πόλει μένοι, ἀνὴρ ἀγαθὸς καὶ φίλος τῷ ἡμετέρῳ πατρί. καὶ ἦν τῷ Φιλίππῳ παλλακή[2], ἣν ἐπὶ πορνεῖον[3] ἔμελλε καταστῆσαι[4]. ταύτην οὖν ἡ ἐμὴ μητρυιά[5] ἐποίησε φίλην. μαθοῦσα δ᾽ ὅτι ἔμελλεν ἀδικεῖσθαι ὑπὸ τοῦ Φιλίππου, μεταπέμπεται αὐτήν, καὶ ἐπεὶ ἦλθεν, ἔλεξεν αὐτῇ ὅτι καὶ αὐτὴ ἀδικοῖτο ὑπὸ τοῦ ἡμετέρου πατρός. εἰ οὖν ἐθέλει πείθεσθαι, ἔφη δύνασθαι φαρμάκῳ[6] τόν τε Φίλιππον φίλον ἐκείνῃ ποιῆσαι καὶ τὸν ἐμὸν πατέρα ἑαυτῇ. ἠρώτα οὖν αὐτὴν εἰ ἐθέλει δοῦναι τὸ φάρμακον[6], καὶ ἐκείνη ὑπέσχετο τάχιστα, ὡς οἶμαι. μετὰ ταῦτα ὁ Φίλιππος ἔτυχε θύων τῷ Διὶ ἐν Πειραιεῖ σὺν τῇ παλλακῇ[2], ὁ δὲ πατὴρ ὁ ἐμὸς εἰς Νάξον πλεῖν ἔμελλεν. καὶ ἐπεὶ ἦσαν ἐν τῷ Πειραιεῖ, ἡ παλλακὴ[2] ἐβουλεύετο ὅπως ἂν αὐτοῖς τὸ φάρμακον[6] δοίη, πότερα[7] πρὸ δείπνου ἢ μετὰ δεῖπνον. ἔδοξεν οὖν αὐτῇ ἄμεινον εἶναι μετὰ δεῖπνον δοῦναι. καὶ πλέον δίδωσι τῷ Φιλίππῳ, οἰομένη ἴσως ὅτι εἰ δοίη πλέον, μᾶλλον φιληθήσεται ὑπὸ τοῦ Φιλίππου. τῷ δὲ πατρὶ τῷ ἡμετέρῳ ἔλασσον ἔδωκεν. ὁ μὲν οὖν Φίλιππος εὐθὺς ἀποθνῄσκει, ὁ δὲ πατὴρ ὁ ἡμέτερος εἰς νόσον ἐμπεσὼν μετὰ εἴκοσιν ἡμέρας ἀπώλετο.'

Adapted from Antiphon, *Against the Stepmother for Poisoning*, 14–20

**Names**

| | |
|---|---|
| ὁ Φίλιππος | Philippos |
| ὁ Πειραιεύς | Peiraeus, the port of Athens |
| ἡ Νάξος | Naxos, an island |

**Words**

| | |
|---|---|
| [1]τὸ ὑπερῷον, -ου | upstairs room |
| [2]ἡ παλλακή, -ῆς | concubine, sex-slave |
| [3]τὸ πορνεῖον, -ου | brothel (house of prostitutes) |
| [4]καθίστημι ἐπί + acc | I place (someone) in |
| [5]ἡ μητρυιά, -ᾶς | stepmother |
| [6]τὸ φάρμακον, -ου | drug, potion |
| [7]πότερα ... ἤ | whether ... or |

© OCR 2014

## Passage 2

*When the Athenians are defeated by the Persian fleet, they are invited to a meeting with the King's envoy to hear the peace terms of the Persian King.*

Tiribazos, the King's envoy, summoned those who wished to sign up to the peace terms which he was bringing from the King. They all came to the meeting.

ἐπεὶ δὲ συνῆλθον, ἐπιδείξας ὁ Τιρίβαζος τὰ βασιλέως σημεῖα[1] ἀνεγίγνωσκε τὰ γεγραμμένα. εἶχε δὲ ὧδε.

'Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον τὰς μὲν ἐν τῇ Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι καὶ τῶν νήσων Κλαζομενὰς καὶ Κύπρον, τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις καὶ μικρὰς καὶ μεγάλας αὐτονόμους εἶναι πλὴν Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου· ταύτας δὲ ὥσπερ τὸ ἀρχαῖον εἶναι Ἀθηναίων. ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τούτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταῦτα βουλομένων καὶ πεζῇ καὶ κατὰ θάλατταν καὶ ναυσὶ καὶ χρήμασιν.'

Adapted from Xenophon, *Hellenica* 5.1.30–31

**Names**

| | |
|---|---|
| ὁ Ἀρταξέρξης | Artaxerxes, the Persian King |
| ἡ Ἀσία | Asia |
| αἱ Κλαζομεναί | Clazomenai, an island |
| ἡ Κύπρος | Cyprus, an island |
| ἡ Λῆμνος | Lemnos, an island |
| ἡ Ἴμβρος | Imbros, an island |
| ἡ Σκῦρος | Scyros, an island |

**Words**

| | |
|---|---|
| [1]τὰ σημεῖα, -ων | seal |

© OCR 2014

